# 16 AUGUST

# RUGACIUNEA 2

# MAHRAMEI DOMNULUI

**εύχή**

Ἥμαρτον, ήνώμησα, καὶ οὐκ ἐδικαιώθην ἐνώπιόν σου Δέσποτα πανάγαθε. Παρέβην τὰ σὰ σωτήρια ἐντάλματα, καὶ τὰς ἱεράς σου ἐπαγγελίας, ἅς ἐν τῷ Ἁγίῳ Βαπτίσματι, ἐνώπιον τοῦ Ἁγίου σου θυσιαστηρίου, τῶν Ἀγγέλων τε καὶ τῶν ἀνθρώπων ἐποιησάμην. Κατελύπησα τὸ τίμιον αἶμα τῆς διαθήκης σου δι᾽ οὗ ἡγιάσθην, κοινωνίαν ἐξαγοράσεως δεξάμενος. Τὸ πνεῦμα τῆς χάριτος κατωλιγώρησα, τὴν φοβερὰν δὲ καὶ ὑπὲρ φύσιν υἱοθεσίαν οὐκ ἐλογισάμην. Γραφὴ πᾶσα, νόμος θεῖος, καὶ διδασκαλία θεόπνευστος, ὡς πλῆξις ἀέρος κενή, καὶ φθόγγος μόνος, ἐνεργείας ἔρημος, ἐν ἐμοὶ κατενοήθησαν. Τὸ τίμιον Εὐαγγέλιον, ὀρθοδοξίας τῆς ἀληθινῆς, ὀνόματι, καὶ μόνῳ λόγῳ, κατέχω ὁ ἄθλιος. Χεῖρας μὲν ἔχω πρὸς πᾶσαν ἁρπαγήν, καὶ πλεονεξίαν ἐπιμελῶς. Πόδας δέ, ταχέως καὶ θαρσαλέως, πρὸς πᾶσαν ἀδικιὰν κακῶς βαδίζοντας. Καὶ ἑτοίμους αρπάξειν τὴν τοῦ ἀδελφοῦ μερίδα, καὶ καταπατεῖν, κατεσθίων τοὺς πτωχούς. Τὸ στόμα, τῶν ἱερῶν εὐχῶν,

καὶ λόγου τοῦ Θεοῦ τὸ ὄργανον, ἀκαθαρσίας παντοίας, ματαιολογίας, καὶ ἐπιορκίας, τῶν δαιμόνων ἐποίησα εἰς ὄργανον. Τοὺς ὀφθαλμούς, καὶ πάσας μου τὰς αἰσθήσεις, τῷ πλήθει τῆς ἀσελγείας, καὶ ῥύπους παντοδαποῦς ἐνέπλησα. Τὸν τῆς χάριτος θεῖον σπόρον, τοῦ ἐν ἐμοὶ δεσπόζοντος νοός, κατεπάτησα. Καὶ τὰ μέλη Χριστὲ τὰ σὰ πόρνης μέλη ποιούμενος, ἀντὶ ναοῦ τοῦ Θεοῦ, φθορᾶς καὶ πάσης ἀκαθαρσίας, φυλακτήριον εὑρέθην. Ὅθεν Δέσποτα πανάγαθε, τὴν πολλὴν φιλανθρωπίαν σου, εἰς αἰσχρότητα ὁ ἄθλιος μετεποίησα. Καὶ πολλά σου ἀγαθὰ δωρήματα, ἀφρόνως μετέβαλον εἰς κόλασιν. Μηδαμῶς δέ, οὔτε ἐκ τῶν ἐνόντων μοι ἀγαθῶν, οὔτε ἐκ τῶν δεινῶν τῶν πλησίον κρείττων γεγονώς, δικαίως ἐγὼ μόνος τὰς πληγὰς τῆς δικαίας σου παιδεύσεως, κατ᾽ ἐμοῦ ἐξηρέθισα. Ἀλλὰ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με Κυριε. Σοὶ μόνῳ ἥμαρτον, ἀλλὰ καὶ σὲ μόνον προσκυνῶ, καὶ συντετριμμένῃ καρδίᾳ, ὡς θυσίαν καθαράν, τὴν ἐξομολόγησιν προσφέρω σοι φιλάνθρωπε Δέσποτα. Ἴασαι τὴν δικαίως κατ᾽ ἐμοῦ ἐπιφερομένην πληγήν. Νικάτω τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, τὴν πονηρὰν ὁμήγυριν τῶν πλημμελημάτων μου, καὶ τὸ ἄπειρον τῆς σῆς ἀμετρήτου χρηστότητος, καλυπτέτω τὴν πικρὰν θάλασσαν καὶ μεγαλωσύνην τῆς

φιλανθρωπίας σου, τὸν Ληστήν, τὸν Τελώνην, τὴν Πόρνην, καὶ τὸν ἄσωτον Υἱόν. Οἵτινες ὑπὲρ ἐμὲ πάνταν, ἐν μετανοίᾳ εὐδοκιμήσαντες, εἰς ουρανῶν βασιλείαν εἰσήλθοσαν. Σὺν τούτοις λοιπὸν καμὲ τὸν ἐξομολογούμενον, καὶ σοὶ προσπίπτοντα δέξαι Δέσποτα. Κἄν μακρὰν ἀφίσταμαι τοῦ πλήθους τῆς ἐκείνων παντοίας ἐπιστροφῆς καὶ μετανοίας, ἀναπληρούτω τὰ ἐλλείποντα, μᾶλλον δὲ τὰ πάντα ἡ ἄπειρος ἀγαθότης σου. Πόῤῥῳ καὶ γὰρ τοῦ παντὸς ἐν ἀληθείᾳ ἀφίσταμαι. Προσάγω σοι τὸν ὀδυρμὸν τῶν πενήτων, καὶ τὰς φωνὰς τῶν νηπίων, καὶ πάσης ἡλικίας τὴν ταπεινὴν καὶ ἁπλὴν δέησιν. Μέρος ἐπάξιον τῶν οἰκτιρμῶν καὶ τῆς ἀφέσεως τῆς σῆς. Καὶ γὰρ ἔχεις προσέτι πρὸς εὐσπλαγχνίαν καὶ ἔλεος σὲ παροτρύνοντας, τὸν Σταυρὸν καὶ τὸν ἑκούσιον θάνατον, ὅν ὑπὲρ ἐμοῦ τοῦ ἀγνώμονος ὑπέμεινας. Τοὺς ἀγώνας δὲ ἔτι τῶν Ἀποστόλων, τῶν Ὁσίων, τῶν Νηστευτῶν, καὶ τῶν Μαρτύρων τὰ αἵματα. Πρὸ πάντων δὲ τὴν κοινὴν ἁπάντων ἐλπίδα, καὶ σωτηρίαν, τὴν ἀσπόρως ὑπὲρ λόγον σὲ Τεκοῦσαν. Ὧν τὰς εὐχὰς φιλανθρώπως δεξάμενος, ἐπάκουσόν μου δεομένου σου, γλυκύτατε Ἰησοῦ. Καὶ οὐ μόνον ἑνὸς ἐμοῦ ἕνεκεν, ἀλλὰ καὶ ὑπὲρ ὧν ὀφειλέτης ὑπάρχω. Τοὺς αἱρετικοὺς καὶ ἀποστάτας, τοὺς ἐκ τῆς Ὀρθοδόξου πίστεως πεπλανημένους, πρὸς γνῶσιν τῆς ἀληθείας

ἀνακάλεσον. Τοὺς ἀπίστους φώτισον, ὅπως ἐπιγνώσονταί σε. Τοὺς ἐν τοῖς πλημμελήμασι, πρὸς μετάνοιαν καθοδήγησον. Τοῖς ἐν τῇ παρθενίᾳ ἁγνείαν δώρησαι καὶ ἐγκράτειαν. Τοῖς συνεζευγμένοις γάμῳ, ἁγιότητα. Τῶν χηρῶν καὶ ὀρφανῶν γενοῦ κηδεμών. Σκέπη τῶν πτωχῶν, τῶν ἐν ἀλλοδαπῇ ξενιτευομένων, ἐπανάκαμψις εἰς τὰ ἴδια. Τῶν πλεόντων ὁρμητήριον. Συγχώρησιν μετανοοῦσι δώρησαι. Τοῖς κλαίουσι παραμυθίαν. Τοῖς ἀγαθοῖς ἐν ἀγαθότητι διαμένειν. Τοῖς ἔτι ἐν τῷ μέσῳ ἐπὶ τὸ τέλειον προκόπτειν. Τοῖς ἐπταικόσι πρὸς διόρθωσιν προχωρεῖν. Ναὶ Ἰησοῦ γλυκύτατε, δέομαί σου, δός μοι τῶν πλημμελημάτων μου συγχώρησιν. Νοὸς τὴν εὐστάθειαν. Σώματον τὴν ὑγείαν. Βίου ἱκανῶς τὰ ἀναγκαῖα. Εἰρήνην εἰς τὰς ἡμέρας μου. Ἀέρος εὐκρασίαν. Γῆς εὐρκαπίαν. Πίστεως τῆς Ὀρθοδόξου ἐπαύξησιν. Καὶ ἕνωσιν τῶν Ἁγίων σου Ἐκκλησιῶν. Αἱρέσεως καθυποβολήν. Ἀσεβῶν βουλευτηρίων διασκεδασμόν. Ἀγάπης θερμότητα, καὶ πᾶσαν εὐσέβειαν. Ἐν ταῖς προσευχαῖς ἐγκάρδιον καθαρότητα. Ἐν ταῖς ἐναντίαις ἀποφάσεσιν, ὑπομονὴν καὶ μεγαλοψυχίαν. Ἐν ἐλπίδι, εὐφροσύνην. Καὶ πᾶν τὸ συντεῖνον καὶ λυσιτελὲς τῇ ἐμῇ ψυχῇ, καὶ τῷ σώματι, ὑγείαν δηλονότι, καὶ σωτηρίαν. Μᾶλλον δὲ τὴν προσήκουσαν τῇ εὐπρεπεῖ σου δόξῃ αἴτησιν δώρησαι. Καὶ πλήρωσον αὐτὴν κατὰ

τοὺς ἀμετρήτους σου οἰκτιρμούς. Ἐκλυτρούμενός με τῆς ἐπικειμένης δικαίας ἀπειλῆς, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρὸς, μαχαίρας, καὶ παντοίων ἀλγηδόνων θανατηφόρων. Καὶ ὡς μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, δώρησαί μοι μετανοίας καιρόν, ὅπως ἀπαλλαγῆς ἀξιωθῷ ἐκ τῶν ἐνεστώτων, καὶ τῶν μελλόντων αἰωνίων κολάσεων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Ἀνάρχου σου Πατρός, μεθ’ οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.